# OPERA, EX RECENSIONE IMMANUELIS BEKKERI; ACCEDUNT INDICES SYLBURGIANI

Published @ 2017 Trieste Publishing Pty Ltd

ISBN 9780649089253

Opera, ex recensione Immanuelis Bekkeri; accedunt indices Sylburgiani by Aristotle

Except for use in any review, the reproduction or utilisation of this work in whole or in part in any form by any electronic, mechanical or other means, now known or hereafter invented, including xerography, photocopying and recording, or in any information storage or retrieval system, is forbidden without the permission of the publisher, Trieste Publishing Pty Ltd, PO Box 1576 Collingwood, Victoria 3066 Australia.

All rights reserved.

Edited by Trieste Publishing Pty Ltd.
Cover @ 2017

This book is sold subject to the condition that it shall not, by way of trade or otherwise, be lent, re-sold, hired out, or otherwise circulated without the publisher's prior consent in any form or binding or cover other than that in which it is published and without a similar condition including this condition being imposed on the subsequent purchaser.

www.triestepublishing.com

ARISTOTLE

# OPERA, EX RECENSIONE IMMANUELIS BEKKERI; ACCEDUNT INDICES SYLBURGIANI

Trieste

AK178.2 (9) DEPARTMENTAL LIBRARY I 2281

# ARISTOTELIS

# OPERA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

ACCEDUNT

INDICES SYLBURGIANI.

TOMUS VI.

130575 13/1/14

OXONII,
E TYPOGRAPHEO ACADEMICO.
MDCCCXXXVII.

# ARISTOTELIS

## DE COLORIBUS
## DE AUDIBILIBUS
## PHYSIOGNOMONICA
## DE PLANTIS
## DE MIRABILIBUS AUSCULTATIONIBUS
## MECHANICA
## DE LINEIS INSECABILIBUS
## VENTORUM SITUS ET NOMINA
## DE XENOPHANE ZENONE ET GORGIA

EX RECENSIONE

IMMANUELIS BEKKERI.

OXONII,

E TYPOGRAPHEO ACADEMICO.

MDCCCXXXVII.

# INDEX CODICUM.

E. Parisiensis Regius 1853.
L. Vaticanus 253.
M. Urbinas 37.
N. Vaticanus 258.
P. Vaticanus 1339.
Q. Marcianus 200.
X. Ambrosianus H 50.
$B^a$. Palatinus Vaticanus 162.
$G^a$. Marcianus 212.
$H^a$. Marcianus 214.
$I^a$. Laurentianus 57 33.
$K^a$. Marcianus Append. 4 58.
$L^a$. Marcianus 263.
$M^a$. Coislinianus 173.
$N^a$. Marcianus 215.
$O^a$. Marcianus 216.
$P^a$. Parisiensis 2069.
$Q^a$. Urbinas 38.
$R^a$. Vaticanus 1302.
$S^a$. Laurentianus 60 19.
$T^a$. Laurentianus 86 3.
$U^a$. Ottobonianus 45.
$V^a$. Urbinas 108.
$W^a$. Urbinas 44.
$Z^a$. Laurentianus 87 21.
c. Parisiensis 1861.
i. Parisiensis 2032.
n. Urbinas 39.
p. Coislinianus 323.
q. Urbinas 76.
z. Parisiensis 2277.
Lps. codex Lipsiensis.

# ΠΕΡΙ ΧΡΩΜΑΤΩΝ.

ΑΠΛΑ τῶν χρωμάτων ἐστὶν ὅσα τοῖς στοιχείοις συνακο-
λουθεῖ, οἷον πυρὶ [a] καὶ ἀέρι καὶ ὕδατι καὶ γῇ. Ἀὴρ μὲν [b] γὰρ
καὶ ὕδωρ καθ᾿ ἑαυτὰ τῇ φύσει λευκά, τὸ δὲ πῦρ καὶ ὁ ἥλιος
ξανθά. Καὶ ἡ γῆ δ᾿ ἐστὶ φύσει λευκή, παρὰ δὲ τὴν βαφὴν
πολύχρους φαίνεται. Δῆλον δ᾿ ἐπὶ τῆς τέφρας τοῦτ᾿ ἐστίν· 2
ἐκκαυθέντος γὰρ τοῦ τὴν βαφὴν πεποιηκότος ὑγροῦ λευκὴ
γίνεται, οὐ παντελῶς δὲ διὰ τὸ τῷ καπνῷ βεβάφθαι μέλανι
ὄντι. Διὸ καὶ ἡ κονία ξανθὴ γίνεται, τοῦ φλογοειδοῦς καὶ
μέλανος ἐπιχρώζοντος τὸ ὕδωρ. Τὸ δὲ μέλαν χρῶμα συνα- 3
κολουθεῖ τοῖς στοιχείοις εἰς ἄλληλα μεταβαλλόντων. Τὰ
δ᾿ ἄλλα [c] ἐκ τούτων εὐσύνοπτα τῇ μίξει κεραννυμένων ἀλλή-
λοις γίνεται. Τὸ δὲ σκότος ἐκλείποντος τοῦ φωτὸς γίνε-
ται. [d] Τριχῶς γὰρ τὸ μέλαν ἡμῖν φαίνεται. Ἢ γὰρ ὅλως 4
τὸ μὴ ὁρώμενόν ἐστι [e] τῇ φύσει [f] μέλαν (ἁπάντων γὰρ τῶν
τοιούτων ἀνακλᾶταί τι φῶς [g] μέλαν), [h] ἢ ἀφ᾿ ὧν μηδὲν ὅλως
[i] φέρεται φῶς πρὸς τὰς ὄψεις· τὸ γὰρ μὴ ὁρώμενον, ὅταν
ὁ περιέχων τόπος ὁρᾶται, φαντασίαν ποιεῖ μέλανος. Φαί-
νεται δὲ καὶ τὰ τοιαῦτα [k] ἡμῖν ἅπαντα [l] μέλανα, ἀφ᾿ ὅσων
ἀραιὸν καὶ ὀλίγον [m] ἰσχυρῶς ἀνακλᾶται τὸ φῶς. Διὸ καὶ αἱ 5
σκιαὶ φαίνονται μέλαιναι. Ὁμοίως δὲ καὶ τὸ ὕδωρ, ὅταν
[n] τραχυνθῇ, καθάπερ ἡ τῆς θαλάττης φρίκη· διὰ γὰρ τὴν
τραχύτητα τῆς ἐπιφανείας ὀλίγων τῶν [o] αὐγῶν προσπιπτου-

Codices E.L.M.P.X.$G^a$.$H^a$. et nonnullis locis Q.i.p.

[a] καὶ ἀέρι om. pr. $G^a$. [b] γὰρ] οὖν P.X.p, om. E.M.i. [c] εὐσύνοπτα ἐκ τούτων $H^a$. [d] τριχῇ L.i. [e] τὴν φύσιν $G^a$. [f] μέλαν om. i. [g] μέλαν om. E.P.$H^a$. [h] ἢ om. M. [i] φαίνεται i. [k] ἅπαντα ἡμῖν L.$G^a$.$H^a$. [l] μέλανα om. pr. $G^a$. [m] ἰσχυρῶς om. i. [n] ταραχθῇ L. [o] αὐγῶν] αὐτῶν P.

σῶν καὶ [p] διασπωμένου τοῦ φωτός, τὸ σκιερὸν μέλαν φαί-
νεται. Καὶ τὸ νέφος, ὅταν ᾖ πυκνὸν ἰσχυρῶς, διὰ τοῦτο.
6 [q] Κατὰ τὰ [r] αὐτὰ δὲ τούτοις καὶ τὸ ὕδωρ καὶ ὁ ἀήρ, ὅταν [s] ᾖ
μὴ παντελῶς [t] διαδῦνον τὸ φῶς. Καὶ γὰρ ταῦτα [v] εἶναι δοκεῖ
μέλανα, βάθος ἔχοντα, διὰ τὸ παντελῶς ἀραιὰς ἀνακλᾶ-
σθαι τὰς ἀκτῖνας· τὰ γὰρ μεταξὺ [w] μόρια τοῦ φωτὸς αὐτῶν
7 ἅπαντα [x] εἶναι δοκεῖ [y] μέλανα διὰ τὸ σκότος. Ὅτι δὲ τὸ
σκότος οὐ χρῶμα ἀλλὰ στέρησίς ἐστι φωτός, οὐ χαλεπὸν ἐξ
ἄλλων τε πολλῶν καταμαθεῖν, καὶ μάλιστα ἐκ τοῦ [z] μηδὲ
αἰσθητὸν εἶναι τὸ πηλίκον καὶ ποιόν τι τῷ σχήματι τετύ-
8 χηκεν ὂν τὸ σκότος, καθάπερ ἐπὶ τῶν ἄλλων ὁρατῶν. Τὸ
δὲ φῶς ὅτι πυρός ἐστι χρῶμα, δῆλον ἐκ τοῦ μηδεμίαν ἄλ-
λην ἢ ταύτην [a] ἔχον εὑρίσκεσθαι χρόαν, καὶ διὰ τὸ [c] μόνον
τοῦτο δι' ἑαυτοῦ ὁρατὸν γίνεσθαι, τὰ δ' ἄλλα διὰ τούτου.
[b] Ἐπισκεπτέον δὲ τοῦτο. Ἔνια γὰρ οὐκ ὄντα πῦρ οὐδὲ πυρὸς
9 εἴδη τὴν φύσιν φῶς ποιεῖν φαίνεται. Εἰ μὴ ἄρα τὸ μὲν τοῦ
πυρὸς [d] χρῶμα φῶς ἐστίν, οὐ μέντοι καὶ τὸ φῶς πυρός ἐστι
χρῶμα [e] μόνου, ἀλλ' ἐνδέχεται μὴ μόνῳ μὲν ὑπάρχειν τῷ
πυρὶ τὴν χρόαν ταύτην, εἶναι μέντοι χρῶμα τὸ φῶς αὐτοῦ.
Οὐδενὶ [f] γοῦν ἄλλῳ τὴν ὅρασιν αὐτοῦ συμβαίνει γίνεσθαι
πλὴν τῷ φωτί, καθάπερ καὶ τὴν τῶν ἄλλων [g] σωμάτων
10 ἁπάντων τῇ [h] τοῦ σώματος φαντασίᾳ. Τὸ δὲ μέλαν χρῶμα
συμβαίνει γίνεσθαι, ὅταν [i] ὁ ἀὴρ καὶ [k] τὸ ὕδωρ ὑπὸ τοῦ πυρὸς
διακαυθῇ, διὸ καὶ πάντα τὰ [l] καόμενα μελαίνεται, καθάπερ
ξύλα καὶ ἄνθρακες σβεσθέντος τοῦ πυρός, καὶ ὁ ἐκ τοῦ κε-
ράμου καπνὸς ἐκκρινομένου τοῦ ἐνυπάρχοντος ἐν τῷ κεράμῳ
11 ὑγροῦ [m] καὶ καομένου. Διὸ καὶ [n] τοῦ καπνοῦ γίνεται μελάν-

[p] διασπωμένων M.P. et pr. E. [q] κατὰ] καὶ E.M.G[a]. [r] αὐτὰ] τοιαῦτα M. et pr. E. [s] ᾖ παντελῶς μὴ P, ἤδη παντελῶς M. et pr. E. [t] διαδύν pr. G[a], διατεῖνον M. [v] εἶναι om. X. [w] μόρια τοῦ] μορίου M. [x] δοκεῖ εἶναι X.H[a]. [y] μέλαν H[a]. [z] μὴ X.G[a]. [a] ἔχον om. E.M.P.X. [b] καὶ om. E.M.P.X. [c] τοῦτο μόνον L.G[a].H[a]. [d] χρῶμα—ἐστι om. P. [e] μόνον L.X. [f] οὖν P, γὰρ L.H[a]. [g] ἁπάντων σωμάτων P. [h] τοῦ] τοῦδε τοῦ X. [i] ὁ om. M. et pr. E. [k] τὸ om. M. [l] καιόμενα X. [m] καὶ ante καομένου om. X. [n] τῶν καπνῶν P.p.

τατος ὁ ἀπὸ τῶν πιόνων καὶ λιπαρῶν, οἷον ἐλαίου [o] καὶ πίτ-
της καὶ δᾳδός, διὰ τὸ μάλιστα ταῦτα κάεσθαι καὶ συνέχειαν
ποιεῖν. Μέλανα δὲ καὶ ταῦτα γίνεται, δι' ὅσων ῥεῖ τὸ
ὕδωρ, ὅταν [p] βρυωθέντων [q] πρῶτον ἀναξηρανθῇ τὸ ὑγρόν, κα-
θάπερ καὶ τὰ ἐν [r] τοῖς τοίχοις κονιάματα. Ὁμοίως δὲ καὶ 12
οἱ καθ' ὕδατος λίθοι· καὶ γὰρ οὗτοι [s] βρυωθέντες, ὕστερον
[t] ἀποξηραινόμενοι τῷ χρώματι γίνονται μέλανες. Τὰ μὲν οὖν
ἁπλᾶ τῶν χρωμάτων ταῦτα καὶ τοσαῦτά ἐστιν.

Τὰ δ' ἄλλα ἐκ τούτων τῇ κράσει [v] καὶ τῷ [w] μᾶλλον καὶ 2
[x] ἧττον γιγνόμενα πολλὰς καὶ ποικίλας [y] ποιεῖ χρωμάτων
φαντασίας. Κατὰ μὲν τὸ μᾶλλον καὶ [z] ἧττον, ὥσπερ τὸ
φοινικοῦν καὶ τὸ [a] ἁλουργές, κατὰ δὲ τὴν κρᾶσιν, ὥσπερ τὸ
λευκὸν καὶ τὸ μέλαν, ὅταν μιχθέντα φαιοῦ ποιήσῃ φαντα-
σίαν. Διὸ τὸ μέλαν καὶ σκιερὸν τῷ φωτὶ [b] μιγνύμενον φοι-
νικοῦν. Τὸ γὰρ μέλαν μιγνύμενον τῷ [c] τε τοῦ ἡλίου καὶ τῷ 2
ἀπὸ τοῦ πυρὸς φωτὶ [d] θεωροῦμεν ἀεὶ γιγνόμενον φοινικοῦν,
καὶ τὰ μέλανα πυρωθέντα πάντα [e] εἰς χρῶμα [f] μεταβάλλοντα
φοινικοῦν· αἵ τε γὰρ [g] καπνώδεις φλόγες καὶ οἱ ἄνθρακες,
ὅταν ὦσι διακεκαυμένοι, φαίνονται χρῶμα ἔχοντες φοινικοῦν.
Τὸ δ' [h] ἁλουργὲς εὐανθὲς μὲν γίνεται καὶ λαμπρόν, ὅταν τῷ 3
μετρίῳ [i] λευκῷ καὶ σκιερῷ κραθῶσιν ἀσθενεῖς αἱ τοῦ ἡλίου
αὐγαί. Διὸ καὶ περὶ ἀνατολὰς καὶ δύσεις ὁ ἀὴρ [k] πορφυ-
ροειδὴς ἔστιν ὅτε φαίνεται, περὶ ἀνατολὴν καὶ δύσιν ὄντος
τοῦ ἡλίου· ἀσθενεῖς γὰρ οὖσαι τότε μάλιστα πρὸς σκιερὸν
ὄντα τὸν ἀέρα προσβάλλουσιν. Φαίνεται δὲ καὶ ἡ [l] θάλαττα 4
[m] πορφυροειδής, ὅταν τὰ κύματα μετεωριζόμενα κατὰ τὴν
ἔγκλισιν σκιασθῇ· πρὸς γὰρ τὸν [n] ταύτης κλισμὸν ἀσθενεῖς

[o] καὶ post ἐλαίου om. P. [p] βρωθέντων X, κρυωθέντων L, βρυωθέντα E.M.G[a].H[a]. [q] πρότερον X. [r] τοῖς om. L.G[a]. [s] βρωθέντες X, κρυωθέντες L. [t] ἀποξηρανθέντες γίνονται τῷ χρώματι L.G[a].H[a]. [v] καὶ τὸ L, κατὰ τὸ P. [w] μᾶλλον] μᾶλλόν τε E.M.P.X. [x] ἧττον] τῷ ἧττον L.G[a].H[a]. [y] χρωμάτων ποιεῖ E.P. [z] ἧττον] τὸ ἧττον E.L.P.G[a].H[a]. [a] ἀλουργῶν L. [b] μιγνυμένων M. [c] τε] τε ἀπὸ L.G[a].H[a]. [d] θεωρούμενον H[a]. [e] εἰς] εἰσὶ M. [f] φοινικοῦν μετ. P. [g] καπνοειδεῖς G[a]. et pr. H[a]. [h] ἀλουργὸν G[a]. [i] λευκῷ] λαμπρῷ X. [k] πορφυροειδεῖς L. [l] θάλασσα P. [m] πυροειδὴς E. [n] ταύτης om. X.

[o] αἱ τοῦ ἡλίου αὐγαὶ προσβάλλουσαι ποιοῦσι φαίνεσθαι τὸ
χρῶμα ἁλουργές. Ὃ καὶ ἐπὶ τῶν πτερωμάτων θεωρεῖται
γιγνόμενον· ἐντεινόμενα γάρ [p] πως πρὸς τὸ φῶς ἁλουργὲς
5 ἔχει τὸ χρῶμα. Ἐλάττονος δὲ τοῦ φωτὸς προσβάλλοντος
ζοφερόν, ὃ καλοῦσιν ὄρφνιον· πολὺ δὲ καὶ τῷ πρώτῳ μέλανι
κραθὲν [q] φοινικοῦν. Εὐανθὲς δ' [r] ὂν καὶ στίλβον εἰς τὸ φλο-
γοειδὲς [s] χρῶμα μεταβάλλει. Κατὰ γὰρ τὴν πρὸς ἄλληλα
κρᾶσιν οὕτως ληπτέον, ἐξ ὑποκειμένου τεθεωρημένου χρώ-
ματος ποιοῦντας τὴν μίξιν, ἀλλὰ μὴ πάντων ὁμοίαν γένεσιν
6 ποιοῦντας. Ἔστι γὰρ [t] τῶν [v] χρωμάτων οὐχ [w] ἁπλᾶ μέν,
λόγον δ' ἔχει πρός τινα [x] τὸν αὐτὸν τῶν συνθέτων ὅνπερ [y] τὰ
ἁπλᾶ πρὸς ἑαυτά, διὰ τὸ τὰ ἁπλᾶ πρὸς μίξιν ἑνὸς ἔχειν,
καὶ μὴ εὔσημον [z] ἐν τῷ παντί, καὶ προστεθεωρημένον κατα-
7 σκευάζειν ὁμοίως. Τὴν γὰρ τοῦ ἁλουργοῦ ἢ [a] φοινικιοῦ
κρᾶσιν λέγοντας ἀνάγκη ὁμοίως [b] τοῖς [c] ἐκ τούτων μιγνυμέ-
νοις καὶ ποιοῦσιν ἄλλην χρόαν τὴν γένεσιν [d] διηγεῖσθαι, καὶ
8 μὴ ὁμοίαν ἔμφασιν ποιεῖν. Διόπερ ἐκ τοῦ προκατεσκευα-
σμένου ληπτέον καὶ θεωρητέον τὴν κρᾶσιν, οἷον ὅτι τὸ οἰνω-
πὸν χρῶμα γίνεται, ὅταν ἀκράτῳ τῷ μέλανι καὶ στίλβοντι
κραθῶσιν αὐγαὶ ἠεροειδεῖς, ὥσπερ καὶ αἱ τῶν βοτρύων ῥᾶγες·
καὶ γὰρ τούτων οἰνωπὸν φαίνεται τὸ χρῶμα ἐν τῷ πεπαί-
νεσθαι· [e] μελαινομένων γὰρ τὸ φοινικοῦν εἰς [f] τὸ ἁλουργὲς
9 μεταβάλλει. Κατὰ δὲ τὸν ὑποδεδειγμένον τρόπον θεωρη-
τέον πάσας [g] τὰς [h] τῶν χρωμάτων διαφοράς, ἐκ κινήσεως
τὴν ὁμοιότητα λαμβάνοντας [i] κατ' αὐτὸ τὸ φαινόμενον, τὴν
ἐν ἑκάστῳ μίξιν ὁμοιοῦντας καὶ ἐπὶ τῶν κατὰ μέρος ἐν γε-
νέσει τινὶ καὶ κράσει ποιούντων φαντασίαν, [k] καὶ πίστιν

[o] ἡ τοῦ ἡλίου αὐγὴ X. [p] πῶς om. M. [q] φοινικιοῦν E.X. [r] ὂν post στίλβον G[a].H[a], utrobique L. [s] χρῶμα om. G[a].H[a]. [t] τῶν om. P.X. [v] χρωμάτων εἴδη οὐχ X. [w] ἁπλῶς L. et pr. G[a]. [x] τῶν αὐτῶν M. [y] τὰ ἁπλᾶ πρὸς] τὰ ἁπλᾶ πῶς L.P.Q.G[a].H[a].p. et corr. E, ἁπλᾶ πῶς X, πλάτος M.i. et pr. E. [z] καὶ προτεθεωρημένον ἐν τῷ παντὶ X. [a] φοινικοῦ L.P.X.G[a].H[a]. [b] τοῖς] καὶ τοῖς P. [c] ἐκ om. E.M. [d] διηγουμένους E.M.i, λέγειν γίνεσθαι P.X.p. [e] μελαινόμενον G[a]. [f] τὸ post εἰς om. M. [g] τὰς om. P. [h] διαφορὰς τῶν χρωμάτων G[a]. [i] καθ' αὐτὸ L.G[a].H[a]. [k] καὶ τὴν πίστιν X.